# ΕΠΑΝΕΚΔΟΣΙΣ ΕΠΙΣΤΟΛΩΝ
# ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΜΗΔΕΙΑΣ ΘΕΟΦΑΝΟΥΣ

Ὁ μακαρίτης Ἀθαν. Παπαδόπουλος Κεραμεὺς ἐξέδωκεν ἐκ τοῦ ὑπ' ἀρ. 6 κώδικος τοῦ Γυμνασίου Μυτιλήνης, γεγραμμένου τῷ 1569, διαφόρους ἐπιστολὰς τοῦ Μηδείας (νῦν Τσαλάτζας) Θεοφάνους, ἀκμάσαντος ὀλίγα ἔτη μετὰ τὴν ἅλωσιν καὶ θαυμαστοῦ τοῦ πατριάρχου Γενναδίου, ἀξίαν δὲ λόγου κατέχοντος θέσιν ἔν τε τῇ ἱστορίᾳ τῆς ἐκκλησίας καὶ τῇ μεσοχρονίῳ γραμματολογίᾳ[1]. Εἶνε δ' αἱ ἐπιστολαὶ αὗται τοῦτο μὲν τέσσαρες ἀπευθυνόμεναι εἰς τὸν Γεώργιον Ἀμηρούτζην, τοῦτο δ' ἐννέα ἄλλαι εἰς διαφόρους ἀποσταλεῖσαι. Τῶν ἐννέα τούτων αἱ ὀκτὼ πλὴν τῆς πρώτης, τῆς ἀποσταλείσης πρός τινα τῶν ἀρχόντων[2], σώζονται καὶ ἐν ἄλλῳ κώδικι πολὺ ἀρχαιοτέρῳ καὶ καλλιτέρῳ, τῷ Παρισιακῷ 1292, γεγραμμένῳ τὸν δέκατον πέμπτον αἰῶνα ὑπερμεσοῦντα, ἤτοι κατ' αὐτοὺς τοὺς χρόνους, καθ' οὓς ἔζη ὁ Θεοφάνης.

Εἶνε δ' αἱ ἐπιστολαὶ αὗται καθ' ἣν τάξιν σώζονται ἐν τῷ Παρισιακῷ κώδικι αἱ ἑξῆς·

α' (φ. 271α). «Ὁ Μηδείας ἔτι μέγας οἰκονόμος ὢν τῷ τιμιωτάτῳ ἐν μοναχοῖς Ἰγνατίῳ τῷ Εὐφημιανῷ»[3] = «Ἰγνατίῳ μοναχῷ τῷ Εὐφημιανῷ» (7η τῶν παρὰ ***Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ*** ἔνθ' ἀν. σ. 33 κ. ἑ.).

[1] Ἴδε περὶ αὐτοῦ **Κ. Σάθαν** ἐν Νεοελληνικῇ φιλολογίᾳ σ. 105 καὶ πληρέστερον **Ἀθ. Παπαδόπουλον Κεραμέα** («Ἀνέκδοτα ἑλληνικὰ συγγραμμάτια ἔγγραφά τε καὶ ἄλλα κείμενα συλλεγέντα ἐκ τῶν ἐν τῇ Μαυρογορδατείῳ βιβλιοθήκῃ» ἀναγραφομένων χειρογράφων. Ἐν Παραρτήματι τοῦ ΙΕ' Τόμου τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ Φιλολογικοῦ Συλλόγου (1881 σ. 18 κ. ἑ.).

[2] **Ἀθαν. Παπαδοπούλου Κεραμέως** ἔνθ' ἀν. σ. 29.

[3] Ἡ ἐπιγραφὴ αὕτη ὡς καὶ ἡ τῆς 6' ἐπιστολῆς ἐπαναλαμβάνεται ἐν τῷ Παρισιακῷ κώδικι ἐν τῇ ἄνω ὤᾳ καὶ διὰ νεωτέρας χειρός.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΥΓΑ της ΚΤ.Π
ΙΩΑΝΝΙΝΑ 2006

β' (275α). «Ὁ Μηδείας τῷ μεγάλῳ ἐκκλησιάρχῃ» = «Τῷ μεγάλῳ ἐκκλησιάρχῃ» (5η τῶν παρὰ **Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ** ἔνθ' ἀν. σ. 31 κ. ἑ.).

γ' (φ. 277α). «Τῷ αὐτῷ» = (Ἀνεπίγραφος) (6η τῶν παρὰ **Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ** ἔνθ' ἀν. σ. 32 κ. ἑ.).

δ' (φ. 278α). «Τῷ μεγάλῳ σακελλαρίῳ» = «Τῷ μεγάλῳ Σακελλαρίῳ» (4η τῶν παρὰ **Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ** ἔνθ' ἀν. σ. 31 κ. ἑ.).

ε' (φ. 280α). «Τῷ μητροπολίτῃ Ἐφέσου» = «Ὁ Μηδείας τῷ μητροπολίτῃ Ἐφέσου» (2α τῶν παρὰ **Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ** ἔνθ' ἀν. σ. 29 κ. ἑ.).

ϛ' (φ. 281α). «Τῷ Χαλκηδόνος» = «Τῷ Χαλκηδόνος» (3η τῶν παρὰ **Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ** ἔνθ' ἀν. σ. 33 κ. ἑ.).

ζ' (φ. 281β). «Τῷ Παλαιολόγῳ κυρῷ Μανουὴλ» = «Κυρῷ Μανουὴλ τῷ Παλαιολόγῳ (8η τῶν παρὰ **Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ** ἔνθ' ἀν. σ. 35).

η' (φ. 283α). «Ἀνεπίγραφος» = (Ἀνεπίγραφος) (9η τῶν παρὰ **Ἀθ. Παπαδοπούλῳ Κεραμεῖ** ἔνθ' ἀν. σ. 35).

Ἐκ δὲ τῆς ὑπ' ἐμοῦ γενομένης ἀντιβολῆς τοῦ Παρισιακοῦ κώδικος ἀπεδείχθη, ὅτι μεταξὺ αὐτοῦ καὶ τοῦ κώδικος τοῦ Γυμνασίου Μυτιλήνης, οἷον γινώσκομεν ἐκ τῆς ἐκδόσεως τοῦ Παπαδοπούλου Κεραμέως, ἴσως παραναγνώσαντος αὐτὸν ἔν τισιν ἢ καὶ παραλιπόντος χωρία τινά, ὑπάρχοντα ἐν τῷ κώδικι, παρατηροῦνται οὐκ ὀλίγαι διαφοραί. Διὸ ἐθεώρησ' ἀναγκαῖον νὰ ἐκδώσω ἐκ νέου τὰς ἀξίας λόγου ταύτας ἐπιστολάς, αἵτινες, σὺν τῇ ὁσημέραι αὐξήσει τοῦ ἐκ τῶν ἡμερῶν τῶν τελευταίων Παλαιολόγων καὶ τῆς ὑστεραίας τῆς ἁλώσεως ὑλικοῦ διαφωτιζόμεναι ἐν τοῖς σκοτεινοῖς αὐτῶν σημείοις καὶ τοῖς προσωπικοῖς ζητήμασι, θέλουσιν ἀποβῆ ἔτι μᾶλλον χρήσιμοι ὡς ἱστορικαὶ πηγαὶ τῶν χρόνων ἐκείνων.

Ἐν τῇ κατωτέρω ἐκδόσει περιέλαβον ὡς πρώτην τὴν ἐν μόνῳ τῷ κώδικι τοῦ Γυμνασίου Μυτιλήνης σῳζομένην, τὰς δὲ λοιπὰς

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΣΗ: Π. ... Ε.Σ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐκδίδω κατὰ τὴν ἐν τῷ Παρισιακῷ κώδικι ἀκολουθίαν. Καὶ τὴν μὲν ἐπὶ τῇ βάσει τοῦ κώδικος Μυτιλήνης ἔκδοσιν τοῦ Παπαδοπούλου Κεραμέως ἐδήλωσα ἐν ταῖς ὑποσελιδίοις σημειώσεσι διὰ τοῦ Κ, τὸν δὲ Παρισιακὸν κώδικα διὰ τοῦ Π.

Περιττὸν δ' ὑπέλαβον νὰ σημειώσω ὅπου τὸ τε βαρυτονεῖται *(τὲ)* ἐν τῷ Π καὶ τὰς διαφόρους ὑπ' ἐμοῦ στίξεις τοῦ κειμένου.

## *1.*

## *Τοῦ μητροπολίτου Μηδείας πρός τινα τῶν ἀρχόντων.*

Πολλάκις πυνθανομένῳ περὶ τῆς εὐκλεοῦς εὐγενείας σου ἀεί μοι καταγγέλλονται σφοδραί τινές τοῦ ἕλκους σου καὶ δειναὶ περιωδυνίαι ὑπὸ τῆς ἐπελθούσης σοι περὶ τὰ τείχη βολῆς ἔξωθεν ἀμύνοντι. Σκοπῆσαι δ' οὖν δυνηθείης, εὐγενέστατε, ὅ θ' ὑπὲρ Πόλεως παθεῖν καὶ ἐν τοῖς ἔπειτα μακαριστὸν ἔσεται χρόνοις, ἀλλὰ δὴ καὶ τὴν τῶν προγόνων σου τῶν μακαρίων καὶ ἰσοθέων φωτῶν ἐπὶ νοῦν ἀναλαβεῖν χρηστότητα, ὅση παρὰ πάντων μακαριότης περίεστιν ἰδεῖν ᾄδεται. Τούτων τοιγαροῦν μιμητὴς γενέσθαι μὴ κατοκνήσῃς καὶ περὶ τῶν ἐπερχομένων τῇ ἐκκλησίᾳ δεινῶν χεῖρα βοηθείας ὀρέξαι· ἤδη γὰρ τὸ πικρὸν τῆς σιμωνίας ἔργον ἀναφανὲν ἐξόλεθρον παντάπασι τὸ γένος ἡμῶν καταναγκάζει γενέσθαι. Μὴ δυνάμενος δὲ πλατύτερον γράψαι διὰ τὰς ἐπελθούσας μοι ἀσθενείας, τῷ κομιστῇ τουτῳὶ παρήγγειλα διηγήσασθαί σοι.

## *2.*

## *Ὁ Μηδείας ἔτι μέγας οἰκονόμος ὢν*

## *τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κυρῷ Ἰγνατίῳ τῷ Εὐφημιανῷ*

Τίμιε πάτερ, ἔναγχος ἐξ ὕπνου μοι γενομένῳ πόρρω νυκτῶν ἄλλα τε πολλὰ τὸν λογισμὸν ἐκύκα, οἷα δὴ τὰ πολλὰ φιλεῖ συμβαίνειν

2. *περιωδυνίαι* ἔγραψα : *περιωδινίαι* Κ  4. *ὅ θ'* ἔγραψα : *ὅθ'* Κ  *Πόλεως* ἔγραψα ἐπειδὴ πρόκειται προφανῶς περὶ ἄρχοντος τραυματισθέντος κατὰ τὴν πολιορκίαν τῆς Κωνσταντινουπόλεως : *πόλεως* Κ  5. *ἔσεται* ἔγραψα : *ἔσεσθαι* Κ  *τὴν* ἔγραψα : *τοὺς* Κ  7. *Τούτων* ἔγραψα : *Τῶν* Κ  8. *κατοκνήσῃς* ἔγραψα : *κατακνήσῃς* Κ

πολλοῖς, οὐχ ἥκιστα δὲ καὶ τὸ τοῦ ἐκ Θετταλίας Στρογγυλοῦ, ὅπως ἀπέσκωψεν ἐν οὐ καιρῷ εἰς ἄνδρα θαυμάσιον, Γεννάδιον τὸν πάνυ. Μέμνησαι γὰρ δήπου παραινοῦντος αὐτοῦ ἐπὶ τοῦ παναγιωτάτου πατριάρχου οὕτω ῥᾳδίως τὴν τῶν νόμων προΐεσθαι ἀκρίβειαν κατ᾽ ἐκεῖνον καὶ κατάγελων οὔ τι μικρὸν κινοῦντος. Ἐῴκει δὲ καί τι πλέον εἰπεῖν βουλόμενος, εἰ μὴ ἡ σὴ τιμιότης τοῦτον τοῦ πρόσω χωρεῖν ἀπεῖρξε νεύμασί τε καὶ λόγοις τισί, καὶ χάρις γέ σοι πολλὴ τῷ τὸ ἡμῶν ἀποτίσαντι ὄφλημα, ὀφειλόντων τοῦτο πρὸ παντὸς ἑτέρου. Ζητῶν τοίνυν ὅτου χάριν οὕτως ἐμνήσθη τοῦ θείου τούτου ἀνδρός, τὴν δεινὴν ἐνενόησα νόσον τῆς κολακείας αὐτὸν κινῆσαι, συλλήπτορα ταύτην ἡγησάμενον ἔσεσθαί οἱ τοῦ ζητουμένου· οὐκ ᾔσθετο δ᾽ ὅτι πονηρῷ χρῆται συνεργῷ καὶ ὡς ἐπὶ τοιούτῳ παραγένοιτο καταλύματι. Εἶτα δεύτερον ἐπῆλθέ μοι ζητεῖν, εἰ ὁ μακάριος ἐκεῖνος ἑάλω ποτὲ τῆς τῶν νόμων ἀκριβείας παραλόγως τι καθυφείς, ὥστ᾽ ἔχειν αὐτῷ περὶ τούτου τινὰ μέμφεσθαι. Εἰ μὲν οὖν ἐν τοῖς πάλαι χρόνοις τοιούτου τινὸς γέγραπται, οὐκ ἔχω λέγειν· τοὐναντίον δ᾽ ἅπαν σύνοιδα πᾶσιν, ὅτι τὰς ἑτέρων δίκας ἐτέτακτο διευθύνειν, τῆς τοιαύτης ἀκριβείας ἀσφαλῶς αὐτὸν ἀντεχόμενον, εἴη δ᾽ ἂν ἔφην περὶ ὧν χθὲς καὶ πρότριτα βεβούληται ὁ Θετταλὸς τῇ συνόδῳ κοινώσασθαι περί τε ἐν τοῖς γάμοις διακρίσεως καί τινων ἐπιτετιμημένων. Εἰ οὖν οὕτως ἔχει, τὸ μὲν ἀπεμφαῖνον τοῦ καιροῦ καὶ τοῦ τόπου καὶ τῶν παρόντων ἐκεῖσε μάλιστα διελέγχειν μικρόν· οὐδὲ γὰρ τῆς τοῦ Στρογγυλοῦ προπετείας ἡμῖν καθικέσθαι σκοπός, τοῦ δὲ ἀμώμου φροντίσαι τοῦ ἀνδρὸς ἐκείνου, χρέος ἐκτίνουσιν ἀναγκαῖον καὶ τῇ ἀληθείᾳ ἐπαμύνειν προὔργου τιθεμένοις καὶ τῷ πατρὶ τῷ μακαριωτάτῳ τε πατριάρχῃ καὶ τῇ σῇ τιμιότητι χαριουμένοις, οἷς κολακείας μὲν οὐ μέλει, εὐνοίας δὲ τῆς πρὸς ἐκεῖνον καὶ μάλα, εἰ καί τινες τὴν ἐναντίαν εἵλοντο. Τί τοίνυν ἕτερον τοῖς νόμοις τῆς ἐκκλησίας ἀπῇδον εἶχεν ἐκεῖνος θεῖναι, ὅς γε τοσοῦτον ἀπεῖχε νομοθετεῖν, ὅτι καὶ ἐπεὶ συμβουλεύσειν ἀπηξίωτο οὐκ ἤχθέσθη; Τοῦτο δεινόν, ὅτι τὴν ἐκκλησίαν ἠξίου χρήσασθαι τῇ ἑαυτῆς δυνάμει εἰς σωτηρίαν πολλῶν ψυχῶν, ὃ καὶ προὔργου ποιεῖν ἀεὶ χρὴ

1-2. *ἀπέσκωψεν Π* : *ἐπέσκωψεν* Κ 6. *τοῦ* Π : *τῶν* Κ 7. *τῷ τὸ ἔγραψα* : *τῶ* Π : *τὸ* Κ 9. *ἐμνήσθη* Π : *ἐμνήσθην* Κ 10-11. *ἡγησάμενον ἔσεσθαί οἱ* Κ : *ἡγησάμενος ἔσεσθαι οἱ* Κ 12. *παραγένοιτο* Π : *καταλύσει* Κ 13. *ἐπῆλθέ* Κ : *ἐπῆλθε* Π 14. *τί* Κ : *τι Π* 24. *προὔργου* Κ : *προύργου* Π 25. *πατρὶ τῷ* Π : *λείπουσι* Κ *τε* Π : *λείπει* Κ 28. *ἀπῇδον* Κ : *ἀπάδον* Π 29. *ὅτι* Π : *ὅς γε* Κ 31. *προὔργου* Κ : *προύργου* Π

καὶ μηδεμιᾶς ὀλιγωρεῖν ὑπερκιρούσης παντὸς τοῦ κόσμου; Οὓς δ' ὑποθράττει τὸ Μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου, ἴστωσαν ὡς οὐ περὶ γάμων εἴρηται τοῦτο, περὶ δέ γε τῶν ἄρθρων τῆς πίστεως· τριγαμίας δέ γε καὶ τετραγαμίας πέρι οὔθ' ὁ Κύριος οὔθ' οἱ τούτῳ φοιτήσαντές τι παρέδωκαν, ἀλλ' ὁ παλαιὸς νόμος διὰ τὴν τῶν ἀνθρώπων φησὶ σκληροκαρδίαν ἐπιτρέπει τοῖς συζυγεῖσι τὴν διάζευξιν, πορνείας ἀναφανείσης μόνον, ὁ δέ γε καινὸς τοῦ Εὐαγγελίου καὶ λίαν ἐμβριθῶς Μὴ χωριζέτω, φησὶν, ἄνθρωπος τοὺς συζυγέντας ὑπὸ θεοῦ, καὶ μοιχᾶσθαι διορίζεται τὸν τὴν ἀπολυθεῖσαν γεγαμηκότα· καὶ ὁ Ἀπόστολος τὰς νεωτέρας χήρας δι' ἃς αὐτός φησιν αἰτίας προτρέπει καὶ εἰς δεύτερον γάμον ἐλθεῖν. Εἰ μὲν οὐκ ἐξῆν τῇ ἐκκλησίᾳ τὰ τῶν πατέρων μεταίρειν ὅρια, τούτοις μᾶλλον ἔδει ταύτην φυλάξαι τὴν τιμὴν πατράσιν οὖσι πατέρων· ὅτι δὲ μᾶλλον ἐκ τούτων προὐτέτραπτο δεόντως τὰ περὶ τῶν τοιούτων ἐν καιρῷ μεταίρειν, ἔδειξεν, ὅτι τὰ τούτων πρῶτον ἐκίνησεν, ἡγησαμένου Βασιλείου καί τινων ἑτέρων κατὰ καιροὺς, διαφόρων μὲν τυχὸν ἀρετῇ καὶ σοφίᾳ, πάντων δὲ ὁμοίων τῇ ἐκκλησιαστικῇ δυνάμει καὶ ἐξουσίᾳ, τῶν καὶ τῇ περὶ τὴν πίστιν δόξῃ οὐ τῶν ἐν τοῖς πάλαι χρόνοις ὄντων μόνον, ἀλλὰ καὶ τῶν ἐς δεῦρο τῆς ἐκκλησίας ἡγουμένων· οὐδὲ γὰρ τὰ τοῦ Βασιλείου ἴσχυσεν ἂν ὡς τοῦ Βασιλείου ἢ ἄλλου του ὡσαύτως, εἰ μὴ καὶ τῇ ἐκκλησίᾳ συνεδόκει. Ὃ δὲ καὶ ἐν μέρει τίθημι ὑπερβολῆς, οἱ βασιλεῖς μικροῦ τινος συμφέροντος αὐτοῖς χάριν, ὄντες ἄνθρωποι, παρὰ τὴν τοῦ θεοῦ ψῆφον χωρίζουσιν οὓς αὐτὸς συνέζευξε, τὸ τῆς καθοσιώσεως συστέλλοντες. Πῶς οὖν εὐσεβέστατοι καὶ πιστοὶ ἐν Χριστῷ τῷ θεῷ ἢ πῶς οἱ παρ' αὐτῶν τεθέντες νόμοι θεῖοι καὶ φιλευσεβεῖς ἢ πῶς αὐτοὺς ἡ ἐκκλησία ἐδέξατο; Τίς οὖν ἀντερεῖ μὴ τὴν ἐκκλησίαν ἀπολελυμένην ἔχειν δύναμιν, καιροῦ καὶ πραγμάτων καὶ λόγων εὐλόγων καταναγκαζόντων, οὐχ ἥκιστα δὲ καὶ ἐν οἷς ψυχαὶ καὶ πίστις κινδυνεύουσι νομοθετεῖν καὶ ἀντινομοθετεῖν καὶ μεταίρειν ὅρια πρότερα, οἰκονομοῦσαν καὶ μηχανωμένην τὸ ἀζήμιον τῶν ὑπ' αὐτὴν ψυχῶν καὶ τῆς πίστεως, ἀπαθῶς μέντοι σὺν ἀδιαβλήτοις ταῖς ψήφοις καὶ παρατηρήσεσι ταῖς προσηκούσαις; Ἐγὼ δὲ μᾶλλον, εἴ τίς ἐστι τῆς καθολικῆς ἐξάρχων ἐκκλησίας μὴ οὕτω καὶ ἐπὶ τούτοις αὐτὴν κινῶν, παρορᾷ δὲ μᾶλλον ἀπόλ-

1. *μηδεμιᾶς* Κ : *μηδὲ μιᾶς* Π 12. *ταύτην* Π : λείπει Κ 13. *προὐτέτραπτο* Κ : *προυτέτραπτο* Π 14. *τῶν τοιούτων* Π : *τούτων* Κ 17. *τῶν καὶ — δόξῃ* Π : λείπουσι Κ 26. *τίς* Κ : *τὶς* Π 28. *οὐχ ἥκιστα* Κ : *οὐχήκιστα* Π 31. *μέντοι* Π : *μέν τοι* Κ 32-33. *ἐξάρχων ἐκκλησίας* Π : *ἐκκλησίας ἐξάρχων* Κ

λυσθαι ψυχικῶς οὓς ἐπιστεύθη διασώζειν, ὡς δῆθεν τοῖς τῶν προτέρων θεσπίσμασιν ἐμμένων, τοῦτον ἀποδώσειν λόγον τῆς ἀπωλείας ἐκείνων θεῷ εὐτόνως ἂν διατειναίμην. Παραδείγματι δὲ γυμναστέον τὸν λόγον ἡμῖν, εἰ δοκεῖ. Δεσπότης ἐμὸς προβάτων ἐγχειρίσας μοι νομὴν ἀπῆρεν, ἐντειλάμενος ἐξάγειν ταῦτ᾽ ἐπὶ νομὰς διὰ τῆς βορείου τυχὸν θύρας τοῦ θριγγοῦ, ὡς ἐνεδρευόντων ἄλλοθεν θηρίων· εἰ δὲ κἀνταῦθα τὰ θηρία παραγένοιντο καὶ κινδυνεύοι παραπόλλυσθαι τὰ θρέμματα ἢ λιμῷ τῷ μὴ ἐξιέναι τῷ δέει τῶν θηρίων ἢ καταβρώσει τῶν ἐνεδρευόντων τῇ τούτων προόδῳ, ἐξεῖναι παρανοίγειν τὸν θριγγὸν ἑτέρωθεν καὶ διασώζειν τὰ θρέμματα πρός τῷ καὶ πιαίνειν αὐτὰ δαψιλείᾳ τῆς νομῆς. Ἐγὼ δέ, τὴν ὑπ᾽ αὐτῶν φορὰν μόνον συγκομιζόμενος, οὔτε εἰ καλῶς νέμοιντο ἢ κακῶς ἐσκεψάμην, οὐθ᾽ ὅπως ἀνώτερα τῆς ἀπὸ τῶν θηρίων λύμης εἶναι διὰ σπουδῆς ἐθέμην, μίαν τοῦ θριγγοῦ θύραν ἔχειν πρὸς τὸ τοῦ δεσπότου σκηπτόμενος καὶ μὴ ἐξεῖναι παρανοίγειν ἑτέρωθεν τὸν θριγγόν, οὐ δώσω δίκας τῆς ἀπωλείας τῶν θρεμμάτων, ἐλθόντος τοῦ δεσπότου καὶ τοὺς λόγους εἰσπράττοντος; Καὶ τυφλῷ κατὰ τὴν παροιμίαν δῆλον, ἢ καὶ ἀλεκτρυαίνης εἰκός ἐστιν ἡμᾶς ἡττᾶσθαι, τῷ μὲν σιτισμῷ τῶν νεοσσῶν τυχὸν καὶ ἁδρῷ μὴ ἀρκουμένης, εἰ μὴ καὶ ἐπισιτισμὸν μηχανήσαιτο, πρὸς δ᾽ αἰετὸν καὶ κύνα καὶ γαλῆν ὑπὲρ αὐτῶν οὐκ ἀτόλμως παραβαλλομένης καὶ μηδὲ τῶν ἰδίων πτερύγων φειδομένης εἰς φρουρὰν καὶ περίθαλψιν. Εἰ δὲ τὴν ἐκκλησίαν πᾶσαν εἰωθυῖαν κρίνειν τὰ περὶ τούτων καὶ διακρίνειν καὶ νομοθετεῖν καὶ ἀναπτύσσειν καὶ ὁ μακάριος ἐκεῖνος ἕρμαιον τὴν συνδρομὴν τῶν τὴν ἐκκλησίαν ἀναπληρούντων ἡγησάμενος καὶ ἐγκαίρως νομίσας εἰσηγήσασθαι τὰ δοκοῦντά οἱ συνοίσειν τῷ κοινῷ τῆς ἐκκλησίας, οὐ νομοθέτου, ἀλλὰ συμβούλου τρόπον εἰσελθεῖν ἐβουλήθη, ἐξωστράκισται δὲ μὴ χαλεπήνας, ἔδειξεν ἧττον αὐτῷ μέλειν τῆς τοῦ κρύψαντος τὸ τάλαντον δίκης· τῶν γὰρ ἱερῶν ἀκούει λογίων, Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον, λεγόντων. Μάτην ἄρα ὁ μάταιος Στρογγυλὸς πρὸς αὐτὸν ἀπέσκωψεν. Ἔρρωσο.

2-3. *τοῦτον—θεῷ* Π : λείπουσι Κ  4. *προβάτων ἐγχειρίσας μοι* Π : *ἐγχειρίσας μοι προβάτων* Κ  5. *βορείου τυχὸν* : Π *βορείας* Κ  7. *κινδυνεύοι* ἔγραψα : *κινδυνεύει* ΠΚ  12. *ἢ* Π : *εἰ* Π  19. *κύνα* Π : *κῦνα* Κ  *γαλῆν* Κ : *γαλὴν* Π  20. *μηδὲ* Κ : *μὴδὲ* Π  22. *εἰωθυῖαν* Κ : *εἰωθυῖαν* ἐκ τοῦ *εἰωθυίαν* Π  25. *δοκοῦντά οἱ* Π : *δοκοῦντα οἱ* Κ  30. *ἀπέσκωψεν ἔρρωσο* Π : *ἀπέσκωψεν* Κ

## 3.

## Ὁ Μηδείας τῷ μεγάλῳ ἐκκλησιάρχῃ.

Δυοῖν ἐγκλημάτων θατέρου σοι γραφὴν ἐποίσειν ἐχόντων ἡμῶν, ἔξεστί σοι τὸ κουφότερον δοκοῦν ἑλομένῳ λέγειν, οὐδέτερόν σοι προσήκειν ἀξιούντων ἡμῶν, ἀναγκαίως δ' ἑπομένων ἔργοις τε καὶ λόγοις τοῖς σοῖς· αἱρήσειν γὰρ ἡγησάμενος ἡμᾶς τοῖς ἡμετέροις, ὃ δὴ λέγεται, πτεροῖς, λέληθας σαυτὸν μηδ' ἄκρῳ κρατήσας τῷ ὄνυχι, καὶ ἡ ἐπίνοια διήμαρτέ σοι ἐνδεικνυμένῳ τὰ ἡμέτερα, ἃ Ἰγνατίῳ τῷ μακαρίῳ γεγράφαται γράμματα καὶ ὅ τι ἔξεστι τῇ ἐκκλησίᾳ νόμους καὶ κανόνας οἰκονομικῶς μεταμείβειν ἐκ τούτων κατασκευάζοντι. Ἢ γὰρ οὐ ξυνίης τῶν γεγραμμένων τὸν νοῦν, ὅπερ ἀγροικίας καὶ ἀμαθίας ἐστίν, ἢ συκοφαντεῖς, ὃ πρὸς ἐχθροῦ τῆς ἀληθείας τυγχάνει. Ἡ μὲν γὰρ ἐκκλησία τῇ ἀντιφάσει οὐκ ἄν ποτ' ἐνασμενίσειε διαπρυσίως βοῶσα «Τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων καὶ ἁγίων πατέρων, οἳ καὶ τὴν ἁγίαν ἐκκλησίαν ὑπερείδουσι καὶ τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ποδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα». Καὶ αὖθις· «Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν ὑποτύπωσιν ἢ διδασκαλίαν καὶ παράδοσιν τῶν ἁγίων πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ πραχθησόμενα, ἀνάθεμα». Ἡμεῖς δὲ οὐ κατασκάπτειν καὶ ἀνατρέπειν τὰ τείχη καὶ ὀχυρώματα τῆς ἐκκλησίας, τοὺς ἱεροὺς κανόνας καὶ τὰς ὑποτυπώσεις τῶν θείων πατέρων ἐν ἐκείνοις ἀξιοῦμεν τοῖς γράμμασιν, ὃ νῦν ὁρᾶν ἔστι γινόμενον, εἰ μή που τῶν γραμμάτων ἐκείνων ἐξεῖλες ἢ ἑκὼν παρατρέχεις τὸ οἰκονομοῦσαν καὶ μηχανωμένην τὸ ἀζήμιον τῶν ὑπ' αὐτὴν ψυχῶν καὶ τῆς πίστεως, ἀπαθῶς μέντοι σὺν ἀδιαβλήτοις ταῖς ψήφοις καὶ παρατηρήσεσι ταῖς προσηκούσαις, ὃ καὶ ἄλλῳ τινὶ τῶν ἱερῶν ἀνδρῶν εἴρηται πρότερον οἰκονομητέον εἰπόντι ἔνθα μὴ παρανομητέον, καὶ εἴ τις τῶν δοκούντων τοῖς ἱεροῖς πατράσι σαλεύει τι, οὐκέτι τοῦτο οἰκονομίαν κλητέον, ἀλλὰ παράβασιν καὶ προδοσίαν δόγματος καὶ περὶ τὸ θεῖον ἀσέβειαν. Καὶ εἰκότως· οὐ γὰρ ἦσαν, φησίν, αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ. Τὸ δὲ ἀντινομοθετεῖν λέγοντες, οὐ τά-

7. *ὅ τι ἔγραψα* : *ὅτι* ΠΚ  11. *ποτ'* Π : *ποτε* Κ  13. *τῶν μακαρίων καὶ* Π : *λείπουσι* Κ  20. *ὁρᾶν* Π : *ὁρᾷν* Κ  23. *μέντοι* Π : *γέ τοι* Κ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ Κ. Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

ναντίᾳ ἐξεῖναί φαμεν τῇ ἐκκλησίᾳ θεῖναι, ἀλλὰ τὸ ἐξ ἴσου νομοθετεῖν ἐφ' οἷς οὐκ ἔφθασαν οἱ πρότερον κατὰ τὸ ἀμφιταλαντεύειν καὶ ἀντισταθμίζειν καὶ μεταίρειν ὅρια ἐφ' οἷς ἐνδεεῖ τινος ἢ ἄλλως πως οἰκονομίας δεομένοις, τοῦ καιροῦ τὴν ἀναπλήρωσιν εἰσπράττοντος, εὐαγέσι γέ τοι τρόποις καὶ προσφόροις ἐκκλησίᾳ θεοῦ. Καὶ παρίημι νῦν τοὺς τρόπους ἐλέγχειν τῶν καθ' ὑμᾶς οἰκονομιῶν, οὐκ ἀφανεῖς ὄντας. Ὁ δέ γε θεσπέσιος Γεννάδιος παρανοίγειν τὸν θριγγὸν τῆς ἐκκλησίας καὶ ἐπὶ νομὰς ἐξάγειν τὰ λογικὰ θρέμματα ζωτικάς, ἀσινῶν τηρουμένων καὶ τῶν ψυχῶν καὶ τῆς πίστεως αὐτῶν ἀξιῶν, οὔτε αὐτὸς ἐμπαθῶς καὶ σκολιαῖς ταῖς ψήφοις ἔλεγε τοῦτο, οὔτε ἡμεῖς ὑπερασπίζοντες τούτου· καὶ ἃ ἐν ἐκείνοις εἰρήκαμεν τοῖς γράμμασιν ὑπὲρ τῶν ἐκείνου τὸν τοιοῦτον εἴρηται τρόπον, οὔτε δ' ὑμῖν ἐκεῖνα συνεδόκει τότε, ἄλλων παθῶν ἡγουμένων, οὔτ' ἐκεῖνο συνίστη τῇ ἰδίᾳ γνώμῃ, οὔθ' ἡμεῖς ἐπεκδικεῖν πλέον προήχθημεν, οὔθ' ἡ ἐκκλησία παρεδέξατο. Νῦν δ' ἕτερα πάθη τοῦ καιροῦ σχεδιάσαντος ἐν ὑμῖν τοῖς ἡγουμένοις τῆς ἐκκλησίας, οὐ παρανοίγειν ἀξιοῦτε τὸν θριγγὸν μετὰ τῆς τῶν ὑποτυπώσεων παρατηρήσεως καὶ τοῦ ἀπαθοῦς, ἀλλὰ τὰς μεγάλας ἀναπεταννύειν κλισιάδας, μᾶλλον δὲ ὅλον τὸν φραγμὸν περιαιρεῖν, ἐφ' ᾧ καὶ τὰς ψυχὰς βλάπτεσθαι πολλῶν, νεκρουμένης καὶ τῆς πίστεως ἐν αὐτοῖς τῇ ἐνδείᾳ τῶν ἔργων τῶν εὐσεβῶν. Βούλει δ' ὅμως τοῖς ἡμετέροις ἐνιέναι πάθεσι τὸ ἰσχυρόν, ἃ εἰρήκαμεν ἡμεῖς ἑνὸς ἕνεκα μερικοῦ καὶ μικροῦ εἰς τὰ πάντα καὶ καθόλου καὶ μεγάλα μετάγων, συνερίθῳ τῇ συκοφαντίᾳ ἢ παρεξηγήσει χρώμενος. Καὶ δὴ μὴ ἀπαξιώσῃς ἀποκρίνασθαι ἐρομένῳ μοι τουτί. Αὐτὸς μὲν ἐμβριθῶς ἄγαν καὶ ἰταμῶς παρανόμων ἡμῶν ἐγράφου τὸ πρότερον, καὶ οὔτε τῇ ἀπάτῃ καὶ ἀγνοίᾳ χώραν παρεῖχες, οὔτε τοῖς προστάταις τὸ πρᾶγμα ἡμῶν ἀναφερόντων ἔφερες, ἀλλὰ καὶ ἔγγραφον παράγων νόμου τεμάχιον, οὐκ οἶδα πόθεν λαβών, τὸ ἀσύγγνωστον ἐψηφίζου. Νῦν δ' οὐ τῶν ὧν ἡμᾶς ᾐτιῶ γινομένων, ἀλλ' ἁπλῶς πάντων νομίμων τε καὶ κανονικῶν διεφθορότων καὶ τῶν μὲν ἐνεργείαις, τῶν δὲ συμβουλαῖς ἢ προδοσίαις ἢ οἰκονομίαις ἢ διοικήσεσι ταῖς σαῖς τελειουμένων καὶ διὰ τὸ ἀπεμφαῖνον αὐτῶν αὐτοῦ σοῦ μεταβαλόντος κἀκ τῶν ἡμετέρων ὧν ἐγράφου παρανόμων τὸ εὔλογον αὐτοῖς χαριζομένου, ποτέρῳ τῶν καιρῶν πολιτεύεσθαί σε

13. *συνίστη* K : *συνέστη* Π 17. *κλισιάδας* : *κλισιαδίας* Π 18. *ἐφ' ᾧ* K : *ἐφῶ* Π 22. *καὶ μεγάλα* Π : λείπουσι K *συνερίθω* ΠΚ. Ἄνευ λόγου ὁ Κεραμεὺς ἔθηκεν ἐρωτηματικὸν μετὰ τὴν λέξιν, ἔχουσαν ὀρθῶς. 25. *τὸ πρότερον* K : *τοπρότερον* Π 32. *σοῦ* Π : *σου* K

Ε.Υ. Δ.Π.Ε.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καλῶς καὶ δικαίως φήσομεν ἐν χρηστότητι τρόπων καὶ ἤθους ἡμερότητι καὶ ὧν ἡμῖν ὀφείλεις χαρίτων ἐκτίσαι; Εἰ μὲν γε νῦν, ὅτε καὶ ὁ χρόνος καὶ ἡ τῶν πραγμάτων πεῖρα προκόπτειν ἐν τοῖς ἀγαθοῖς τὸν ἀγαθὸν καὶ θεῖον ἄνδρα ποιεῖ, κακῶς ἄρα τότε καὶ διενοοῦ καὶ ἔπραττες καὶ ἔλεγες καθ' ἡμῶν. Εἰ δὲ τότε ταῦτα ὡς προσῆκον ἐποίεις, νῦν ἄρα προκέκοφας ἐν τοῖς χειρίστοις, ὃ πρὸς ἀνδρὸς οὐκ ἂν εἴη ποτ' ἀγαθοῦ ἢ πῶς ἂν εἴποιμι μετριώτερον; Ἀλλὰ σοὶ μὲν ἵλεως ὁ Κύριος γένοιτο, ἅμα δὲ καὶ ἡμῖν, εἰρήνην δὲ καὶ τῇ ἐκκλησίᾳ παράσχοι δωρεᾷ τε καὶ χάριτι, ὡς οἶδεν αὐτός.

## 4.

## Τῷ αὐτῷ.

Ὤδινεν ὄρος καὶ ἔτεκε μῦν, ἡ παροιμία φησί· τὸ δὲ κύημα τοῦ ὄρους τούτου τῆς σῆς ὑπερηφανίας χρόνιον ἀποτεχθὲν τῷ τεκόντι σύμμορφον ἀτεχνῶς τῷ τε ποικίλῳ τοῦ ἤθους καὶ τῷ τῆς γνώμης σκολιῷ, ἅ σοι πρὸς τρόπον πεφύκασι, καὶ ὄγκου μὲν ἕνεκα ὑπερῆρται καὶ ἐλέφαντος, ἰσχύος δὲ καὶ ἐμπίδος ἥττηται τῇ περιβομβήσει μόνῃ τὰς ἀκοὰς ἀποκναῖον, μηδένα δὲ πείθειν ἔχον, εἰ μή πού τίς ἐστι κατὰ σέ. Τίς γὰρ οὐκ οἶδε τὰ σά; Ἀλλὰ καὶ πτερῶν ἐνδεῖ τούτῳ πρὸς πτῆσιν, ποδῶν δ' ἀπορεῖ πρὸς πορείαν ἐφ' ᾧ πρὸς ἡμᾶς ἀφίξεται καὶ οὐδ' ἑρπύσαι ἰσχύει· ἄλλως δ' ἐναγὲς ὂν καὶ ἐτώσιον ἄχθος οὐδὲ φοράδην ἔχει ἐλθεῖν, πάντων ἀποσειομένων τὴν ἐκ τοῦ θίγειν αὐτοῦ προστροπήν. Καὶ ὑποσχέσεως μὲν ἕνεκα ἐπιστολή, ἔργου δὲ φλυαρία, ἧς τὸ ἐπιτίμιον παρὰ τῶν νόμων τῷ καὶ δευτέρῳ τινὶ γνωρίσαντι ταύτην ἡ τῆς κεφαλῆς ζημία, καὶ ταῦτ' ἀγνοουμένου τοῦ συντεθεικότος τὴν ἀρχήν. Οὐχ ἥκιστα δὲ καὶ βαρυτέρῳ τῷ τιμήματι ὑπόχρεων σαυτὸν εἰργάσω, ὡς πρὸ τοῦ ἐπιστεῖλαι τῷ ᾧ γέγραπται ὁ νόμος ἐστὶν ἐπιστολῆς πολλοῖς ἑτέροις ἐπιδεικνύμενος, ταύτην λοίδορον οὖσαν, ὃ φλυαρίας ἐστί, πρὸς σοῦ συντεθεῖσθαι καθωμολόγεις. Ἔδει δὲ πάντως καὶ αὐτὸν σὲ θέσθαι καὶ ἀμφοῖν ταῖν αἰτίαιν, ὧν ἡμεῖς μέν σοι τὴν ἑτέραν εἰς

6. *προκέκοφας* Π : *προκέκοφα* Κ 7. *ἀλλὰ σοὶ* Π : *ἀλλά σοι* Κ

4. 1. *Ὤδινεν* Κ : *Ὤδινε τὸ* Π 3-4. *σκολιῷ* Κ : *σκολιῷ ἐκ τοῦ σχολιῷ* Π 6. *κατὰ σέ* Π : *κατά σε* Κ 8. *πορείαν* Π : *πορείας* Κ *ἑρπῦσαι* Π : *ἑρπύσαι* Κ 9. *ἐτώσιον* Π : *ἐτήσιον* Κ 9-10. *οὐδὲ φοράδην ἔχει ἐλθεῖν* Κ : *οὐδ' ἐλθεῖν ἔχει φοράδην* Π 13. *τὴν ἀρχὴν* Κ : *τηναρχὴν* Π 14. *οὐχ ἥκιστα* Κ : *οὐχήκιστα* Π 17. *ἐστὶ πρὸς σοῦ* Π : *ἐστι πρὸς σου* Κ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

αἵρεσιν προὐτείναμεν, αὐτὸς δὲ σαυτῷ καὶ ἄμφω κεκύρωκας· καὶ πρώην μὲν ἀγροικίας ἑάλως σαφῶς· οὐ γὰρ ἔχεις ἀντερεῖν· νῦν δὲ κέχρηται τῇ συκοφαντίᾳ, μᾶλλον δὲ ὑβρίζεις δήπου τὸ πρὸς τῶν οἰκείων ταῖς ὕβρεσι ποιῶν. οἳ τὸ σφῶν αὐτῶν αἶσχος ἐπηλυγάζειν ἡγοῦνται, εἰ καὶ ἄλλοις μὴ τοιούτοις τοῦτο περιάψαιεν. Ἂν δὲ καὶ πλείω τὴν ἀωλοκρασίαν ταύτην καὶ ἀδολεσχίαν καταχέῃς ἡμῶν, οὐκ ἐφικνεῖται· εἰς ταυτὸν γὰρ ἐπανακάμπτει, πλείοσι καὶ μείζοσιν ὑπεύθυνον ὄντα ὧν ἡμῶν καταψεύδῃ. Καὶ ἀριδήλως ἐφάνη τοῦτο καὶ κεκύρωται ἐπὶ συνόδου μὴ ψευδομένης τὸ ὄνομα, ἣ καὶ ὡς ἐνῆν ἐπιτετίμηκέ σοι, ἐπεὶ τοῖς ἀξίοις οὐκ ἐξῆν, εἰ καὶ αὐτὸς ὕστερον δραξάμενος καιροῦ κατωρχήσω τοῦ τιμήματος· καθαίρεσις δὲ ἦν· μήτε συνόδῳ μήτ᾽ ἐκκλησιαστικῇ δικαίᾳ διακρίσει θαρρήσας τῶν αἰτιῶν ἑαυτὸν ἀπολῦσαι, περιόδοις δὲ καὶ μηχαναῖς καὶ ἀπάταις ἀποσυλήσας τὴν ἀθώωσιν, μὴ οὖσαν κυρίως, καὶ ἁρπαγῇ νῦν ἀντέχῃ τοῦ ὀθνείου. ὃ μόνης τῆς σῆς ἐστι τόλμης. Αὐτὸς δ᾽ ὑπὸ θεῷ συνεργῷ καὶ τῇ ἀληθείᾳ καὶ τότε κανονικῶς καὶ μάλα εὐγενῶς περιεγεγόνεις ὧν συκοφαντῶν ἐδίωκες αὐτὸς καὶ ἀεὶ πᾶν μοι συμμαρτυρεῖ μοι στόμα πλὴν εἴπερ ἐστὶν ἕτερον ἐς δεῦρο κατὰ τὸ σὸν ἐφ᾽ ᾧ καὶ ἧττόν μοι μέλει καὶ μελήσει σοῦ τε καὶ τῶν σῶν, εἰ καὶ πολλάκις τοιαῦτα ἐρεῖς ἃ σαυτῷ μᾶλλον τὴν αἰσχύνην φέρει, οὐμενουν ἐμοί. Ἄχθομαι δ᾽ ἐπιεικῶς, ἠπειγμένως ἃ μὴ φίλα μοι λέγων· ἑρμηνεῦσαι γὰρ τὰ καλῶς εἰρημένα μοι προστησάμενος, ἃ μετέστρεφες ἀπεικότως αὐτὸς ᾧ πέφυκας φιλολοιδόρῳ εἰς ὃ μὴ πέφυκας αὐτὸς ἐξετράπην μετὰ τῶν ἄλλων καὶ τοῦτ᾽ ἀδικηθεὶς ὑπὸ σοῦ, τῷ τοι καὶ πεφειδημένως πάνυ τῶν τοιούτων λόγων ἡψάμην. Διὸ καὶ ἅλις μὲν ἐμοὶ ὡς ἐγὼ κρίνω, σὺ δὲ εἰ μὴ βούλει τοῦτο, αὐτὸς ὄψει.

1. *προὐτείναμεν* Κ : *προυτείναμεν* Π 7. *πλείοσι—ὑπεύθυνον* Π : *μειζόνων τε καὶ πλειόνων ὑπόδικον* Κ 9. *μὴ ψευδομένης τὸ ὄνομα* Π : *ἀψευδοῦς* Κ 12. *ἀπολῦσαι* Π : *ἀπολύσαι* Κ 14. *ἐστι* Κ : *ἐστὶ* Π 15. *αὐτὸς* Π : *αὐτὸ* Κ 16. *περιεγεγόνεις* Π : *περιεγεγόνει* Κ 17. *εἴπερ ἐστὶν* Κ : *εἰπέρ ἐστιν* Π 18. *ἐφ᾽ ᾧ* Κ : *ἐφοῦ* Π *ἧττόν* Κ : *ἧττον* Π 19. *τοιαῦτα* Π : *τοιαῦτ᾽* Κ

## 5.

## Τῷ μεγάλῳ σακελλαρίῳ.

Ἀπόλωλεν, ὦ μέγα σακελλάριε, παρ' ὑμῖν τοῖς ἄρχουσι τῆς ἐκκλησίας τὸ κύριον καὶ ἐξαίρετον τῆς κλήσεως ταύτης, μᾶλλον δὲ ἀντέστραπται, καὶ φιλόδουλοι καὶ φιλοδέσποτοι ἀντ' ἀρχόντων καὶ ἐλευθέρων γεγόνατε, τὰ ἐν οἷς τὸ ἄρχειν ὅσιόν τε καὶ ψυχωφελὲς καὶ ὧν τέταχθε κριταὶ θείῳ θεσπίσματι καὶ δεφένσορες εἶναι, ταῦτα προδεδωκότες. Οὐκ ἔχω δ' εἰπεῖν εἴτε ὡς Ἡσαῦ φαγεῖν χάριν εἴτε τῳ τρόπῳ ἑτέρῳ, ὧν τὰ ἐπιτίμια σφοδρὰ καὶ ψυχώλεθρα, ἅπερ καὶ αὐτὸς οὐκ ἀγνοεῖς, χρόνῳ τε καὶ συνέσει καὶ πείρᾳ τῶν ἄλλων προέχων καὶ ἡγεῖσθαι δίκαιον ἔχων ἢ μὴ πειθομένων ἀφίστασθαι τῶν τὸ ἀκοινώνητον παρὰ τῶν ἱερῶν θεσπισμάτων κληρωσαμένων. Εἰ δέ τινες τὰ ἀνόσια κέρδη θαυμάζοντες ἢ τὸ δοκεῖν φοβεροὶ θηρώμενοι καὶ τὴν δουλικὴν ταύτην ἀρχὴν ἀγαπῶντες ταῖς θωπείαις ταύταις καὶ δουλείαις ἀγαπῶσιν, ἀλλ' οὐκ ἔδει σε τοῖς τοιούτοις ἐνασμενίζειν, μήτε περιουσίας μήτε μείζονος τιμῆς ἐπιδεᾶ τυγχάνοντα. Εἰ δὲ καὶ ἄνευ τοῦ κερδαίνειν ἐφέπῃ τοῖς τοιούτοις ὑπερβαίνων τὸ λῆμμα, πόσον τὸ δεινὸν καὶ ἡ δίκη ποσαπλῆ; Οὐ γὰρ οἶμαι ἐκ τῆς τοῦ Ῥεπανᾶ τετραγαμίας νοσφίσασθαί σέ τι, ἧς πολλάκις σου ἀκήκοα καταγινώσκοντος ὡς ἄλλων συνιστώντων αὐτὴν καὶ ψυχροῖς ῥήμασι καὶ διεστραμμέναις ἑρμηνείαις ἀθωούντων τοῦ λαβεῖν χάριν, εἰ καὶ ἄλλοις ἦσαν βαρεῖς ἐπιτιμηταὶ ἀγνῶσι καὶ ἀνωτέροις τοῦ λήμματος. Τί γὰρ εἰ τὸν ἀγνοοῦντα προςποιοῦνται νῦν, συλᾶν τὸ ἀκατάγνωστον πειρώμενοι; Καλά γε ταῦτα, ὦ τοῦ θεοῦ ἄνθρωπε, πρῶτε καὶ τῇ τιμῇ καὶ τῷ χρόνῳ καὶ τῇ τῶν θεσμῶν εἰδήσει τῶν ἐκκλησιαστικῶν καὶ διδάσκαλος ὀφείλων εἶναι ἐν τῇ ἐκκλησίᾳ; Ἡμεῖς μὲν ἴσως ἀπειπάμεθα ἤδη ταῦτα καὶ ἀπόχρη μένουσιν ἡμῖν ἐπὶ τῆς τάξεως ἐφ' ἧς ἡμᾶς ἔταξεν ὁ θεὸς περὶ σφῶν αὐτῶν μεριμνᾶν. Οὐ δίκαιον δὲ σὲ τὸν κορυφαῖον τοῦ πληρώματος τῆς ἐκκλησίας τοῖς τοιούτοις τῶν ἀθέσμων κοινωνεῖν· ἢ δοκεῖ

5. Οὐκ ὀρθῶς ὁ Ἀθ. Παπαδόπουλος Κεραμεὺς ἐμεγαλογράφησεν ἔν τε τῇ ἐπιγραφῇ καὶ τῷ κειμένῳ *Σακελλαρίῳ* καὶ *Σακελλάριε*.

2. *καὶ* Κ : *καὶ καὶ* Π   5. *τέταχθε* Π : *τέταχθε* ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ *κρεῖττον* κατέστησε Κ   6. *εἴτε τῳ* Κ : *εἰτέ τῳ* Π   11. *θηρώμενοι* Π : *λείπει* Κ   14. *ἐπιδεᾶ τυγχάνοντα* Π : *ἐπιδεξίως ἀτυγχάνοντα* Κ   15. *ὑπερβαίνων* Π : *ὑπερβαῖνον* Κ   17. *σέ τι* Κ : *σέ τι* Π   20. *συλᾶν* Π : *συλᾶν* Κ
26. *αὐτῶν* Π : *αὐτῶν* Κ   *μεριμνᾶν* Π : *μεριμνᾶν* Κ   *δὲ σὲ* Π : *δέ σε* Κ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΡΓΟΥ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥΑΓΓΕΛΙΑ ΚΤ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σοι τὰ τῶν θείων πατέρων ἐπιτίμια μὴ ἐνεργεῖν ἐπὶ τοὺς παρόντας αὐτῶν; Οὐ γὰρ τεθνήκασιν ἐκεῖνοι, εἴπερ τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλει δι' ἐκείνων καὶ ἀεὶ ζῇ ὡς θεὸς καὶ τοὺς ἀθετητὰς τῶν αὐτοῦ ῥημάτων ἐπεξελεύσεται, ἐπεὶ κἀκεῖνοι εἰς τὸν αἰῶνα ζῶσι καὶ συνεργάζονται τὴν ἐπεξέλευσιν. Εἰ γὰρ ἠκυρώσαμεν τὰς τῆς σιμωνίας δίκας, εἰ παρορῶμεν τὰς περὶ γάμων παρατηρήσεις, καὶ ταῦτα μὴ οὔσης βίας, ἢ τινῶν ἐστι σκῆψις, εἰ τοὺς ἐπὶ χειροτονίαις θεσμοὺς ἠθετήκαμεν ἡμεῖς, ἀλλ' οὐ τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἡ τοῦ θεοῦ ῥομφαία, εἰ καὶ ἀναβάλλεται φιλαγάθως, στιλβοῦται ὅμως. Τί γάρ φησιν ὁ θεός; «Ἐὰν μὴ εἰσακούσητέ μου τοῦ πορεύεσθαι ἐν τοῖς νόμοις μου, δώσω τὸν οἶκον τοῦτον ὥσπερ Σηλώμ, καὶ τὴν πόλιν ταύτην δώσω εἰς κατάραν πᾶσι τοῖς ἔθνεσι». Καὶ οὐκ εἶπε μὲν οὕτως, οὐκ ἐποίησε δέ, ὡς ἔγωγε δέδοικα, μὴ καὶ χεῖρον ἡμῶν καθάψηται, ὡς καὶ τούτου γενομένου, οὐδαμῶς δὲ ἀπωναμένων, ἀλλὰ καὶ ἐπὶ τὸ χεῖρον προκεκοφότων ἡμῶν· καὶ «Ἵνα τί ἔτι πληγῆτε, φησί, προστιθέντες ἀνομίαν;» Ὑπόλοιπος τοίνυν ἡμῖν ἡ παντελὴς ἀπώλεια. Ταῦτα μὲν οἶδας αὐτὸς μᾶλλον ἢ ἡμεῖς, τῷ δὲ περὶ τὴν σὴν τιμιότητα φίλτρῳ ὑπεμνήσαμεν μικρά, ἵν' αὐτὸς οἴκοθεν τὰ πλείω προσθῇς. Μὴ θαυμάσῃς δὲ πρός τινων ἀκούων ὡς ἡμεῖς ᾐτησάμεθα τὴν Ἡράκλειαν, τὴν κοινωνίαν ἐπαγγειλάμενοι· οὐ γὰρ διὰ τούτου τοὺς ἔχέφρονας παρακρούσονται.

## *6.*

## *Τῷ μητροπολίτῃ Ἐφέσου.*

Ἐκ τῆς νόσου ἀνασφήλας προσφωνῶ σοι τῇ φίλῃ μοι κεφαλῇ. Τί ταῦτα, ὦ φίλων ἄριστε, τῆς τῶν Ἐφεσίων ἱερᾶς μητροπόλεως ποιμενάρχα καὶ λόγοις τοῖς κατὰ σὲ ποιμαίνων αὐτὴν καὶ μηδὲν πρὸ τῆς ἀληθείας ὀφείλων τιμᾶν; Οὐκ ἔδει σε τοῖς κειμένοις τῆς ἐκκλησίας νόμοις ἐπαμύνειν ἢ μᾶλλον κατορχεῖσθαι τούτων; Οὐκ εὐλαβῇ τὸν ἐπιτιμῶντά σοι προφήτην «Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ»

7. *ἢ τινῶν* Π : *ἢ τινων* Κ   *εἰ* Π : *εἰς* Κ   9. *φιλαγάθως* Π : *φιλαλήθως* Κ   10. *εἰσακούσητέ μου* Π : *εἰσακούσητ' ἐμοῦ* Κ   12. *ἔγωγε* Π : *ἔγωγε* Κ   13. *καθάψηται* Π : *καθάψηται ἔτι* Κ   14. *προκεκοφότων* Κ : *προκεκοφότων* Π   20. *παρακρούσονται* Π : *παρακρούονται* Κ   21. *προσφωνῶ* Π : *προσφωνῷ* Κ   23. *ποιμαίνων* Π : *ποιμαίνειν* Κ   24. *τιμᾶν* Π : *τιμὴν* Κ   26. *ἐπιτιμῶντά* Κ : *ἐπιτιμῶντα* Π   *σοι* Π : *σε* Κ

φάσκοντα; Ὦ νόμοι, ὦ θεσπίσματα ἱερά, ὦ θεῖοι μυσταγωγοὶ οἱ ταῦτα θεσπίσαντες, ὦ θεὲ πρῶτε πάντων καὶ κοινὲ διδάσκαλε, νῦν λῆρος ὅσα τεθεσπίκατε; Τὸ «Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀνθρώπων» μάταιον; Τὸ «Μὴ κρίνετε κατ᾽ ὄψιν» ἀνόητον; Τὸ «Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν» ψεῦδος; Ὢ τῆς βίας· ταῦτα γὰρ ἄντικρυς φασιν οἱ τούτων ἀφροντίστως ἔχοντες ἐν οἷς δρῶσι. Σὲ δ᾽ οὐκ ἔδει τοιοῦτον εἶναι, τοιοῦτον ὄντα. Ἐξέθλιψαν ἡμᾶς τὰ ἐν Χίῳ, οἷς πιστεύειν οὐκ εἴχομεν, ὑπὸ τῆς εὐνοίας εἰργόμενοι καὶ τὴν σὴν εἰδότες περὶ τὰ τοιαῦτα διάθεσιν, εἰ καὶ γράμμασι καὶ λόγοις ἐβεβαίουν ἡμῖν τοιαῦτα πολλοί. Ἡ ἐνθάδε παρουσία σου δόξαν παρέσχεν ὡς ἄρα χεῖρα ὀρέξεις βοηθείας τοῖς καταπατηθεῖσι τῆς ἐκκλησίας νόμοις, σὺ δὲ ἄρα καὶ τοὺς μήπω κατεπάτησας. Ἀπόλωλεν, ὦ Δίκη, τῆς ἐκκλησίας ἅπαν σεμνὸν καὶ τίμιον· ἐξέλιπεν εὐλάβεια καὶ αἰδὼς καὶ ἡ πρὸς θεὸν ἐλπίς. Ἀκήκοα λεγόντων τινῶν, ὅτι κλυδωνίζεται ἡ ἐκκλησία ὑπὸ τῶν ἀντιπνεόντων ἀνέμων· ἐγὼ δέ φημι, ὅτι καὶ τελείως ἐναυάγησε καὶ βυθῷ παρεπέμφθη τῆς ἀπωλείας τῇ ἐπικρατείᾳ τοῦ κλύδωνος. Αἴτιοι δὲ τοῦ κακοῦ ὁ τῆς φιλαργίας ἔρως καὶ ὑμεῖς οἱ σοφοὶ ποιμενάρχαι, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα. Παρῶπται μὲν ὁ τῆς σιμωνίας νόμος, ἐπισείων τὰ δεινότατα, σκῆψις δὲ ἡ μὴ οὖσα τοῦ κρατοῦντος βία· σεσάλευται ὁ περὶ τῶν γάμων, ἄλλου προστάξαντος. Ἔστω ταῦτα· ἄρχοντές εἰσιν, ὧσθ᾽ ὑπεικτέον τιμῇ· εἰ δὲ τῶν ἐξ αὐτῶν εὐθυνῶν ὑμεῖς ἀθῷοι, οὐκ οἶδα. Ἀλλ᾽ ἑτέρου κανόνος ὁμόσε χωροῦντος κατὰ τῶν πρὸ τῶν κε´ χρόνων διακόνῳ καὶ πρὸ τῶν λ´ πρεσβυτέρῳ χεῖρα ἐπιθησόντων καὶ τίμημα τὴν καθαίρεσιν ἐπάγοντος τῷ οὕτω χειροτονήσαντι σὺν τῷ χειροτονηθέντι, αὐτὸς τὸν Χριστοφόρον μήπω τὸν εἰκοστὸν παραμείψαντα πρεσβύτερον κεχειροτόνηκας· εἰ δὲ κατ᾽ ἐπιταγήν, τί τοῦτο ἢ ποσίας ἐστὶν ὁ ἐπιτάξας; Καλὸν λυπῆσαι γονεῖς καὶ μὴ Κύριον· ὁ μὲν γὰρ καὶ ἔπλασε καὶ ἔσωσεν, οἱ δὲ οὓς ἠγάπησαν πολλάκις ἀπώλεσαν καὶ τῇ κολάσει παρέδωκαν.

2. *νῦν* Π : *ἦν* Κ  5. *καὶ τὴν δικαιοσύνην* Π : λείπουν Κ  6-7. *ἀφροντίστως — δρῶσι* Π : *ἀφροντισταίνοντες* Κ  7. *δ᾽* Π : *δὲ* Π  9. *εἰργόμενοι* Π : *εἰργόμενοι* Κ  10. *γράμμασι* Κ : *γράμασι* Π  12. Μετὰ τὸ *μήπω* εἶνε ἀνάγκη νὰ προστεθῇ ἡ λέξις *καταπατηθέντας* ;  13. *ἀπόλωλεν* Π : *ἀπώλωλεν* Κ
16. *δέ φημι* Κ : *δὲ φημί* Π  16-17. *βυθῷ — κλύδωνος* Π : *βεβύθισται τῇ ἀπωλείᾳ τῇ τοῦ κλύδωνος ἐπικρατείᾳ* Κ  21. *ἄρχοντές εἰσιν* Κ : *ἄρχοντες εἰσὶν* Π
26. *αὐτὸς* Κ : *αὐτὸς* ἐκ τοῦ *αὐτὸν* Π  *εἰκοστὸν* Κ : *κ´* Π

## 7.

## *Τῷ Χαλκηδόνος.*

Ὁ Κύριος τοῖς αὐτῷ φοιτῶσι πυθομένῳ τῷ Βαπτιστῇ, εἰ αὐτὸς ὢν ἐλήλυθεν ὁ ἐρχόμενος ἢ ἕτερος προσδοκᾶται, τὴν διὰ τῶν ἔργων ἀπένειμεν ἀπόκρισιν, οὔτ᾽ ἐκείνου μὴ εἰδότος ὃ ἠρώτα, οὔτε τῆς ὑπερσόφου σοφίας ἁπλῶς οὕτως καὶ ἄνευ ἀποκριναμένης σκοποῦ. Καὶ σοῦ δὲ φιλίως ἐρωτήσαντος ὅπως ἔχω, «Ὡς ὁρᾷς» ἀπεκρινάμην, ἴσως φανεροῦ τυγχάνοντος τοῦ ἔργου μου. Ἀλλ᾽ ὡς ἔοικα κουφότητα ἢ πλάνην μου καταγνοὺς προὔφερές μοι τὸ αὐθαίρετον, ὃ οὐδ᾽ ἂν αὐτὸς ἀρνησαίμην, εἰ καί τισιν ἐν μέρει δόξειεν ὀνείδους ὁ ἰδιασμὸς καὶ τὸ ἀκοινώνητον καὶ τὸ ταπεινῶς βαίνειν, ἐφ᾽ οἷς ἥκιστα ἀνιῶμαι, ὡς καὶ αὐτὸς ὑπέθου, ἐνὸν ἑνὶ λόγῳ εἰς ἔργον ἐκδεδειχότι τὸ πᾶν ἀμεῖψαι, εἰ τοῦτ᾽ ἦν. Ἀλλ᾽ εὐθύμως καὶ μάλα φέρω διὰ τὴν εἰσφρήσασαν τῇ ἐκκλησίᾳ τῶν θείων θεσμῶν καὶ κανόνων ἀθέτησιν, τῶν τοῖς ὀλιγωροῦσι τούτων ἐπιτιμώντων ἀσυμπαθῶς, δι᾽ οὐδὲν ἕτερον καταδεχομένοις τὰ ἀφόρητα ἐπιτίμια ἢ διὰ φιλαρχίαν καὶ τῦφον καὶ τῷ ταπεινοτάτῳ ἐνθρονίζεσθαι ὕψει καὶ ὑψαύχεσιν ἐποχεῖσθαι ἵπποις καὶ τοῖς ἀνελευθέροις περιδομβεῖσθαι κόλαξι καὶ καρποῦσθαι κέρδη τὰ ἐπιζήμια, ἃ οὔτε τῶν ἐχόντων οὔτε τῶν πρὸς αὐτὰ κεχηνότων, ὥσπερ οὐδὲ τῶν κτησαμένων τὴν ἀρχὴν πεφύκασι. Καὶ ῥᾷστον ἂν ἦν τὰ τῆς τοιαύτης νόσου ῥᾷον σχεῖν, εἰ μόνον τὸ ἐμὸν ἔθνος καὶ οἱ ἀρχιερεῖς μὴ τοῖς τοιούτοις ἦσαν ἐνεσχημένοι καὶ αὐτοί, ἐφρόντιζον δὲ ὁποσονοῦν θεσμῶν ἐκκλησιαστικῶν καὶ τὰ ἐπιτίμια ἔρριπτον καὶ μὴ τῷ Μαμωνᾷ μὲν ἐδούλευον, ὠλιγώρουν δὲ τοῦ θεοῦ, μητροπόλεις ἀμείβοντες καὶ προσόδους θηρώμενοι καὶ οὐδὲν ἕτερον διανοούμενοι ὧν τέλος ἡ ἐπηρμένη δίκη τοῖς παραβάταις καὶ ἀθετηταῖς τοῦ θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἐντολῶν· «Ἐὰν γὰρ μὴ θέλητέ φησι μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται», ἐξ ὧν τὴν δίκην τῆς καταστροφῆς τῆς ἐκκλησίας ὁ Κύριος εἰσπράξεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, ὅτε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ποῦ νῦν οἱ ἐγκαλοῦντες τὰς

1. *πυθομένῳ* Π : *πυθομένοις* Κ   3. *ἀπόκρισιν* Π : *διάκρισιν* Κ   4. *ἀποκριναμένης* ἔγραψα : *ἀποκριναμένου* Π : *ἀποκρινομένου* Κ   7. *προὔφερες* Κ : *προέφερες* Π   10. *ἀμεῖψαι* Π : *ἀμείψαι* Κ   14. *τῦφον* ΠΚ   16. *τὰ* Π : λείπει Κ   18. *τὴν ἀρχὴν* Κ : *τηναρχὴν* Π   20. *ὁποσονοῦν* Π : *ὁπωσοῦν* Κ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ.Δ της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τετραγαμίας καὶ μοιχοζευξίας τὰς μὴ οὔσας καὶ ἑαυτοὺς τοῖς μάρτυσιν ἐντάττοντες ὡς μέχρις αἵματος τῶν κανόνων ὑπεραθλοῦντες, ὀφείλοντες μέν, οὐ ποιοῦντες δέ; Καὶ μαρτύριον ὅσα τῶν χειρόνων ἀνερυθριάστως νῦν διαπράττονται· καὶ παρίημι τὰ ἄλλα. Ἀλλ' αὐτοῖς μὲν ἵλεως ὁ Κύριος γένοιτο, ἀντιλάβοιτο δὲ τῆς ἐκκλησίας αὐτοῦ τῇ οἰκείᾳ ἀγαθότητι, εἰ μὴ παντελῶς ἐκτρῖψαι βούλοιτο ταύτην διὰ τὸ ἀνεπίστροφον ἡμῶν. Σοὶ δὲ χάρις, ἀδελφῶν ποθεινότατε, εὔνως ἡμῖν ἀεὶ διακειμένῳ.

## 8.

## Τῷ Παλαιολόγῳ κυρῷ Μανουήλ.

Τὰς σὰς ἀρετὰς ἀεί μοι θαυμάζοντι, αἳ τῇ κατ' ἄμφω σου εὐγενείᾳ προσήκουσι, καὶ νῦν θαυμάσαι σου τὴν ἐπιείκειαν θέλησον, ἄριστε πάντων καὶ εὐγενέστατε. Παραιτούμενος γὰρ τἀληθῆ κατερῶ. Ῥαθυμίας τινὸς ἔχω σου γράψασθαι νῦν τῆς ἐπισυμβάσης ἕνεκα πρὸς Δοκειανὸν τὸν χρηστὸν ἄνδρα διαφορᾶς. Ἴσμεν γὰρ ἅπαντες τὸ πρὸς τρόπου σοι πρὸς πάντας εὐμενές, μάλιστα δ' αὐτῷ δωρηθὲν δαψιλῶς καί γε τῆς ὑπολήψεως οὐ διήμαρτες τῶν τε τρόπων αὐτοῦ καὶ παιδείας καὶ φρονήσεως καὶ τῶν πολλῶν ἀρετῶν· τῷ δ' ἄκρῳ τῆς συνέσεως οὐδ' αὐτὸς ἀγνοεῖς τὴν ἄνευ τῆς οἱασοῦν ὑποκρίσεως εὔνοιαν αὐτοῦ, καί, ὡς ἐμαυτὸν πείθω, οὐ ποτ' ἂν ἐξεγένετο τούτῳ ἄλλο τι τῶν ἁπάντων τῆς εἰς σὲ πίστεως καὶ εὐνοίας διαμείψασθαι οὐδὲ τὸν τοῦ Μίδου πάντα χρυσόν, εἰ οἷόν τε ἦν. Βασκάνου δέ τινος ἐπηρεαστοῦ τοῦτο γέγονε κατόρθωμα σκολιόν. Τῇ σῇ δὲ πάντως ἐπιεικείᾳ διαφέρει τὴν διαφορὰν περιελεῖν. Οὐκ ἔστι γὰρ ὅτε τῶν καλῶν οὐκ ἄρχεις αὐτός, ἀλλὰ καὶ εἰσπράττουσι τοῦτο ἥ τε τῶν εὐμενῶν καὶ ἀγαθῶν σου τρόπων ἰδιότης ἔτι τε καὶ τῶν αὐτοῦ, οὐχ ἥκιστα δὲ καὶ τὸ τῶν ἐν τῷ παρόντι ἐπίσημον ἡμερῶν, προσθήσω δ' ὅτι καὶ ἡ ἱκετεία ἡ ἐμή. Ἔγνων δὲ τὴν διαφοράν, τινὸς ἡγησαμένης χρείας. Πυθόμενος γὰρ οὐ πρὸ πολλοῦ εἶναι παρὰ τῷ Δοκειανῷ τοῦ μακαριωτάτου πατρὸς καὶ πατριάρχου Γενναδίου τοῦ πάνυ σύγγραμμα τῶν ὑπὲρ λόγον γενεθλίων

1. *μοιχοζευξίας* Π : *μοιχοτευξίας* Κ 6. *ἐκτρίψαι* ΠΚ

8. 1-2. *αἳ—προσήκουσι* Π : *ἀμφοῖν προσηκούσαις σοι ταῖν εὐγενείαιν* Κ 2. *θαυμάσαι* Π : *θαυμᾶσαι* Κ 9. *ἄνευ* ἐν συνεχείᾳ τοῦ κειμένου Κ : *ἄνευ* πρόσθετον ἄνωθεν Π 10. *ἄλλο τι* Π : *ἀλλ' ὅτι* Κ 16. *οὐχ ἥκιστα* Κ : *οὐχήκιστα* Π

Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἕνεκα, μεταστειλάμενος αὐτὸν ἐφ' ᾧ τοῦτο αἰτῆσαι, τήν τε διαφορὰν ἔγνων ἐκ τούτου καὶ ὅπως εἰς τὰς σὰς ἐκεῖνο χεῖρας ἀφῖκται. Ταῦτ' ἄρα καὶ περὶ ἀμφοῖν πρεσβεύω, ἐκείνῳ μὲν τὰς διαλλαγάς, ἐμοὶ δὲ δωρηθῆναι τὸ αἴτημα ἐπανήξειν σοι πάλιν ἐπαγγελλομένῳ. Ἔρρωσο.

## 9.

(Ἀνεπίγραφος).

Ἀποδέδωκας τῷ Ἀγχιάλου τὰς ἀμοιβὰς πρὸς ἀξίαν, εἴτε δ' ἐκείνου εἴτε σοῦ, εἰπεῖν οὐκ ἔχω. Ἢ γὰρ αὐτὸς καλῶς συνήργησας τὸν κατ' ἐκείνου διωγμόν, κακῶς τὴν συγχωροῦσάν σοι ψῆφον δεδωκότος ἢ καλῶς ἐκείνου δεδρακότος, τὸ τῆς ἀχαριστίας οὐκ ἂν ἀποδράσειας ἔγκλημα. Σὺ δὲ σοφὸς ὢν σκέψαι σαυτῷ πῶς ἀντιφάσκεις, ὃς ὑπὲρ τῶν θεσμῶν τῆς ἐκκλησίας καὶ τῶν ἱερῶν κανόνων, ὡς ἔλεγες χθὲς καὶ πρότριτα, πάντα παθεῖν ᾑροῦ, νῦν δ' ὅλας ἡνίας καθυφεὶς φέρῃ κατ' αὐτῶν, οὐκ ἔχων ὅτῳ τὴν αἰτίαν εὐλόγως περιάψεις παρά γε κριταῖς ἀψευδέσιν. Ὅμηρος γὰρ ἂν εἶπε «Τὸ πλεῖον πολυάϊκος πολέμοιο χεῖρες αἱ σαὶ διέπουσι». Τὸ γὰρ ἐνὸν κωλύειν ἐπιτρέπειν συνεργεῖν λογίζεται καὶ συμπράττειν τὸ κοινωνεῖν, θεσμὸς δὲ οὐδεὶς οὐδὲ κανὼν ἐξωθεῖ τὸν ἐπίσκοπον τῆς τιμῆς καὶ τοῦ θρόνου ἄνευ λιβέλλων, ἐλέγχων καὶ κρίσεως, κἂν φήμη τις ἐγκλήματά τινα περὶ αὐτοῦ κηρύττῃ. Εἰ δὲ καὶ μηδὲν τοιοῦτον, οὐδ' ἡ τυχοῦσα πρόσκλησις ἐγεγόνει πολλῷ γε μᾶλλον. Ἄλλους μὲν οὖν τινας τὰ τοιαῦτα διαπράττεσθαι οὐδὲν ἀπεικός, ἢ ἑκοντὶ ἀγροικίζοντας ἢ οὕτω πεφυκότας· σὲ δὲ τούτοις συντάττειν ἀπαξιῶ. Ταῦτ' ἄρα καὶ πολλῇ τῇ φειδοῖ τοὺς περὶ τούτου ποιοῦμαι πρὸς σὲ λόγους. Οὐ γὰρ ἐλέγχων, ἀλλ' εὔνως ἔχων σοι, ὅτι ταῖς σαῖς ἄχθομαι δυσφημίαις, τοῖς λόγοις τούτοις ἐχρησάμην. Εἰ δέ μοι καὶ προὔργου τὸ ἐλέγξαι ἦν, εὐτόλμως ἂν εἰργασάμην, πρὸς σοφὸν τοῦτο δρῶν, πειθόμενος τῷ σοφῷ «Ἔλεγχε σοφόν, φάσκοντι, καὶ ἀγαπήσει σε». Οἶσθα δὲ τοὺς σοφοὺς ἰδιώτου κακίαν εἶναι τιθεμένους τὸ πράττειν φαῦλα καὶ κολάσεως ἄξια, σοφοῦ δὲ τὸ ποιεῖν τὰ

3-4. *ἀφῖκται—δωρηθῆναι* Π : λείπουσι Κ  5. *Ἔρρωσο* Π : λείπει Κ

9. 1. *ἀγχιάλου* Π : *Ἀγχιάλῳ* Κ  2. *συνήργησας* : *συνειργάσω* Κ  *τὸν* Π : *τὸν ἐκ τοῦ* (;) Π  3. *συγχωροῦσάν* Κ : *συγχωροῦσαν* Π  4. *ἐκείνου* Π : λείπει Κ  9. *ἀψευδέσιν* Κ : *ἀψευδέσι* Π  13. *τις* Κ : *τίς* Π  13-14. *κηρύττει* ΠΚ  20. *προὔργου* Κ : *προύργου* Π



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ψ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καλὰ καὶ ἐπαίνων πρόξενα· ταῖς γὰρ ἐνεργείαις τούτους χρὴ διασημαίνεσθαι ἢ πάντα χρήματα. Τῇ σῇ δὲ ἀγχινοίᾳ μάλιστα προσήκει ταῦτα διακρῖναι καὶ τίσι δεῖ σαυτὸν ἐγκρῖναι, ἵνα καὶ πολλῶν αἰτιῶν σαυτὸν ἀπολύσῃς καὶ τοῖς φίλοις τὸ συγχαίρειν σοι τῶν ἐπαίνων παράσχῃς.

Τῶν ἀνωτέρω ἐκδοθεισῶν ἐπιστολῶν τοῦ Θεοφάνους Μηδείας ἀρχαιοτάτη φαίνεται ἡ ἐν μόνῳ τῷ κώδικι τοῦ Γυμνασίου Μυτιλήνης σωζομένη, ἣν ἐτάξαμεν πρώτην. Ἀπευθυνομένη εἰς ἄγνωστον ἡμῖν ἄρχοντα τῆς Κωνσταντινουπόλεως, τραυματισθέντα κατὰ τὴν ὑπὸ τῶν Τούρκων πολιορκίαν, φαίνεται γραφεῖσα μικρὸν μετ' αὐτήν. Ἦτο δὲ τότε ὁ Θεοφάνης ἔτι μέγας οἰκονόμος, οἷος καὶ ὅτ' ἔγραφε τὴν δευτέραν ἐπιστολὴν ὡς καὶ τὸν ἐν τῷ Μυτιληναϊκῷ κώδικι σωζόμενον λόγον Πρὸς τοὺς νομίζοντας ἐὰν φύγωσιν ὅθεν λοιμώδεις ἀέρες καταπνέουσι διασώζονται κτλ.[1] Διὰ τοῦτο ὀρθῶς ἡ δευτέρα ἐπιστολὴ προηγεῖται τῶν λοιπῶν ἐν τῷ Παρισιακῷ κώδικι. Καὶ καθ' ὅλου δὲ ἡ ἀκολουθία τῶν ἐπιστολῶν ἐν τούτῳ τῷ κώδικι ἔχει ὀρθότερον ἢ ἐν τῷ Μυτιληναϊκῷ, διὸ καὶ ἠκολουθήσαμεν αὐτήν. Καὶ ὅτι δὲ ἡ πρὸς τὸν Ἰγνάτιον τὸν Εὐφημιανόν, ἥτις ἐν μὲν τῷ Παρισιακῷ κώδικι εἶνε ἡ δευτέρα, ἐν δὲ τῷ Μυτιληναικῷ ἡ ἑβδόμη, προηγεῖται ὀρθῶς ἐν τῷ Παρισιακῷ κώδικι τῆς πρὸς τὸν μέγαν ἐκκλησιάρχην ὑπ' ἀρ. 3, ἥτις ἐν τῷ Μυτιληναϊκῷ φέρει τὸν ἀριθμὸν 5, ἀποδεικνύεται ἐκ τῶν ἐν τῇ πρὸς τὸν μέγαν ἐκκλησιάρχην ἐπιστολῇ λεγομένων τὰ *ἡμέτερα ἃ Ἰγνατίῳ τῷ μακαρίῳ γεγράφαται γράμματα*· ἀναφέρονται δὲ ταῦτ' ἀναμφιβόλως εἰς τὸν αὐτὸν Ἰγνάτιον, ἄγνωστον μὲν ὄντα ἡμῖν ἄλλοθεν, ἐπονομαζόμενον δ' Εὐφημιανὸν πιθανῶς ἐκ τῆς ἐν ᾗ ἐμόναζε μονῆς Ἁγίας Εὐφημίας. Εἶνε δὲ ἡ πρὸς τὸν μέγαν ἐκκλησιάρχην ἐπιστολὴ αὕτη ἡ πρώτη τῶν γραφεισῶν ὑπὸ τοῦ Θεοφάνους

3. *διακρίναι* ΠΚ *ἐγκρίναι* ΠΚ

[1] **Ἀθ. Παπαδοπούλου Κεραμέως** ἔνθ' ἀν. σ. 19.

ὅτε ἦτο ἤδη μητροπολίτης Μηδείας. Καὶ πότε μὲν ἀνῆλθε τὸν θρόνον ἐκεῖνον ἀγνοοῦμεν· πᾶσαι δ' αἱ σωζόμεναι ἐπιστολαὶ αὐτοῦ ὡς μητροπολίτου Μηδείας, αἱ ὑπ' ἀρ. 3-9, εἶνε ὁπωσδήποτε μεταγενέστεραι τοῦ 1456, ὅτε ἀπέθανεν ὁ Γεννάδιος Σχολάριος. Γίνεται δὲ τοῦτο δῆλον ἐκ τῆς ὑπὸ τοῦ Θεοφάνους ἤδη ἐν τῇ δευτέρᾳ τῶν ἐπιστολῶν μνείας τοῦ ὑπ' αὐτοῦ θαυμαζομένου πατριάρχου ὡς *μακαρίου* ἢ *μακαριωτάτου*[1]. Ἀλλὰ καὶ ἔτι ἀργότερον πρέπει νὰ μεταθέσωμεν τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Θεοφάνους. Ἀφετηρίαν δὲ τοῦ χρονολογικοῦ τούτου προσδιορισμοῦ παρέχει ἡ μονῳδία ἢ παραμυθία ἣν ἔγραψε «Πρὸς τὸν εὐγενέστατον κύριον Ῥαὲλ ἀποβαλόντα τὸν υἱὸν αὐτοῦ Μιχαήλ». Τὸ ἔργον τοῦτο τοῦ Θεοφάνους σώζεται ἐν τῷ Βιενναίῳ κώδικι Theol. graecus CCCXXV (Nessel)— 246 (Lambecius) καὶ τῷ ἐν τῷ Ἁγίῳ Ὄρει Ἰβηριτικῷ 1280. Συνέβη δὲ ὁ θάνατος ἐκεῖνος τοῦ Μιχαὴλ Ῥαὲλ ἢ Ῥαοὺλ, ἀνασκολοπισθέντος περὶ τὰς Πάτρας ὑπὸ τῶν Τούρκων, ἐφ' ᾧ ἐγράφη ἡ μονῳδία αὕτη, ἣν θέλομεν ἐκδώσει ἐν τοῖς Παλαιολογείοις καὶ Πελοποννησιακοῖς, περὶ τὸ 1466[2]. Ἀμφότεροι δὲ οἱ σωζόμενοι κώδικες τῆς μονῳδίας ταύτης λέγουσι τὸν Θεοφάνην μοναχὸν καὶ μέγαν ῥήτορα τῆς μεγάλης ἐκκλησίας, ὅπερ ἀξίωμα ἔφερε πρὸ τοῦ τοῦ μεγάλου οἰκονόμου. Κατὰ ταῦτα μετὰ τὸ 1466, ἄγνωστον πόσον χρόνον, ἔγεινεν ὁ Θεοφάνης μέγας οἰκονόμος καὶ εἶτα μητροπολίτης Μηδείας.

[1] Ἴδε ἐπιστολὴν 2 (ἀνωτέρω σ. 261, 2) *Γεννάδιον τὸν πάνυ . . . ἐπὶ τοῦ μακαριωτάτου πατριάρχου*. Αὐτόθι σ. 261, 13 ὁ *μακάριος ἐκεῖνος*. Αὐτόθι σ. 263, 23-26 ὁ *μακάριος ἐκεῖνος . . . ἐξωστράκισται δὲ μὴ χαλεπήνας*.

[2] **Γεωργίου Φραντζῆ** ἐκδ. Βόννης σ. 426, 3 κ. ἑ. Πρβλ. **Ἀντωνίου Χ. Χατζῆ** Οἱ Ῥαοὺλ, Ῥάλ, Ῥάλαι. Kirchhain N. L. 1909 σ. 50 κ. ἑ. Οὐκ ὀρθῶς ὁ **Ἀθ. Παπαδόπουλος Κεραμεὺς** ἔνθ. ἀν. σ. 19 γράφει «μεταξὺ τῶν ἐτῶν 1459—1461, καθ' ἃ ἤκμαζε Γεώργιος ὁ Ῥαὲλ».

Έργα της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006